# Ο ΝΕΟΜΑΡΤΥΡΑΣ ΜΙΧΑΗΛ ΜΑΥΡΟΕΙΔΗΣ
# Ο ΑΔΡΙΑΝΟΥΠΟΛΙΤΗΣ*

(ca. 1490, 'Αδριανούπολη)

ΑΝΕΚΔΟΤΑ ΑΓΙΟΛΟΓΙΚΑ ΚΕΙΜΕΝΑ
ΤΟΥ ΜΕΓΑΛΟΥ ΡΗΤΟΡΟΣ ΜΑΝΟΥΗΛ ΚΟΡΙΝΘΙΟΥ κ.ἄ.

ΥΠΟ
ΔΗΜΗΤΡΙΟΥ Ζ. ΣΟΦΙΑΝΟΥ, δ.Φ.

---

## ΤΑ ΚΕΙΜΕΝΑ

### Α'

### ΙΩΑΝΝΗ ΜΟΣΧΟΥ: ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΣΥΝΑΞΑΡΙΟ ΤΟΥ ΜΙΧΑΗΛ ΜΑΥΡΟΕΙΔΗ, ΤΟΥ ΑΔΡΙΑΝΟΥΠΟΛΙΤΗ

'Εκδίδεται ἀπὸ τὸν κώδικα Parisinus Graecus 1295 (φφ. 314r-319v).

SIGLA

cod. = Par. Gr. 1295, saec. XV-XVI.

CPC = W. Christ — M. Paranikas, Anthologia graeca carminum christianorum, Lipsiae 1871.

E = Σωφρ. Εὐστρατιάδου, 'Ο νεομάρτυς Μιχαὴλ Μαυροειδὴς ὁ 'Αδριανουπολίτης, «Θρακικὰ» 10 (1938) σ. 10-28.

EE = Σωφρ. Εὐστρατιάδου, Εἱρμολόγιον, Chennevières - sur - Marne 1932.

HR = 'Ωρολόγιον τὸ μέγα, 'Εν Ρώμῃ 1876.

MR = Μηναῖα τοῦ ὅλου ἐνιαυτοῦ, I-VI, 'Εν Ρώμῃ 1888-1901.

PaR = Παρακλητικὴ ἤτοι 'Οκτώηχος ἡ μεγάλη, 'Εν Ρώμῃ 1885.

PeR = Πεντηκοστάριον...., 'Εν Ρώμῃ 1883.

TR = Τριῴδιον..., 'Εν Ρώμῃ 1879.

---

* Συνέχεια ἐκ τῆς σελ. 816 τοῦ προηγουμένου τόμου.

314r *Μηνὶ Φεβρουαρίῳ ιζ', ἀκολουθία εἰς τὸν ἅγιον Μιχαὴλ τὸν ἐν Ἀδριανουπόλει τὸν νέον μάρτυρα τὸν καλούμενον Μαυροειδήν.*

*Ἑσπέρας. Εἰς τό: Κύριε, ἐκέκραξα. Στιχηρά.*

*Ἦχος α'. Πρός: Πανεύφημοι μάρτυρες ⟨ὑμᾶς⟩.*

*Τὸ σῶμα τὸ γήινον πυρὶ*
*τεφρωθῆναι δέδωκας*
*ἐθελουσίως, πανεύφημε·*
*ὅθεν ἐτέφρωσας*
*καὶ ἀσθενεστάτην*
*παντελῶς ἀπέδειξας*
*τοῦ πλάνου καὶ δολίου τὴν δύναμιν.*
*Διὸ ἱκέτευε*
*δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν*
*τὴν εἰρήνην*
*καὶ τὸ μέγα ἔλεος.*

*Βαρβάρων τὸ φρύαγμα τῇ σῇ*
*καρτερίᾳ, ἔνδοξε,*
*καταβαλὼν ὥσπερ ἄριστος*
*καὶ γενναιότατος*
*ἀθλητὴς καὶ τούτους*
*ξένως νῦν κατήσχυνας*
*τῷ πόθῳ τοῦ Χριστοῦ πυρπολούμενος,*
*ὃν καθικέτευε*
*δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν*
*τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.*

*Ἐξέλαμψας ὄντως ἐν τοῖς νῦν*
*χρόνοις, ἀξιάγαστε,*
*μαρτυρικοῖς ὡραΐσμασιν*
*ἀγλαϊζόμενος·*
*τῷ γὰρ θείῳ σθένει*

---

heirm. στιχηρῶν CPC 63 12 *φρύαγμα* cod.: *φρόνημα* E

σαφῶς δυναμούμενος,
τὸ θράσος τῶν τυράννων οὐκ ἔπτηξας
ἀλλ' ὡμολόγησας
τὸν Χριστὸν Θεὸν καὶ Κύριον
καὶ δεσπότην μόνον πάσης κτίσεως.

*Δόξα. Ἦχος πλάγιος δ'.*

Τῶν ἁγίων μαρτύρων
τὸ σταθηρὸν φρόνημα ἀναλαβὼν
καὶ τοῖς τοῦ πνεύματος ὅπλοις
σεαυτὸν περιφραξάμενος,
ἐν τῷ σταδίῳ ἀγωνιζόμενος
οὐκ ἐπτοήθης τὰς ἀπειλουμένας σοι βασάνους,
ἀλλὰ παρρησίᾳ ἐβόας,
οὐδέν με τοῦ ἔρωτος τοῦ Χριστοῦ μου χωρίσει.
Διό, τοῦ μακαρίου τέλους τυχών,
σὺν ἐκείνοις αἰωνίως ἀγάλλῃ,
Μιχαὴλ ἀθλητὰ ἀξιοθαύμαστε.

*Καὶ νῦν. Θεοτοκίον.*
*Εἰς τὸν στίχον στιχηρά.*
*Ἦχος β'. Πρός: Οἶκος τοῦ Ἐφραθᾶ.*

Πάντες σε οἱ πιστοὶ
γεραίρομεν ἀξίως
καὶ εὐφημίαις πάσαις
314v ὡς / μάρτυρα Κυρίου
κατακοσμοῦμεν, ἔνδοξε.

*Στίχος: Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.*

Χορὸς ἀγγελικός,
δῆμός τε τῶν μαρτύρων
καὶ τῶν πιστῶν τὸ πλῆθος
εὐφράνθη τῇ καλῇ σου
ὁμολογίᾳ, πάντιμε.

---

33 σταθερὸν E
heirm. στιχηρῶν MR,II,552

*Στίχος: Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.*

*Ἤσχυνας, Μιχαήλ,*
*ἀπογόνους τῆς Ἄγαρ*
*ἐν τῇ θερμῇ σου πίστει*
*βοῶν ἐν παρρησίᾳ,*
*Χριστὸς Θεός μου Κύριος.*

*Δόξα.*

*Δόξα σοι, βασιλεῦ,*
*Χριστὲ σωτήρ, ἐβόας,*
*σύ μου ὑπάρχεις ὄντως*
*ἡ πίστις καὶ ὁ ἔρως·*
*ἐχθροὶ τοῦ θράσους παύσασθε.*

*Καὶ νῦν. ⟨Θεοτοκίον⟩.*

*Χαῖρε ἡ πρὸς Θεὸν*
*μεσῖτις καὶ προστάτις*
*καὶ ἐλπὶς ἡ βεβαία*
*Χριστιανῶν σῶν δούλων,*
*παρθενομῆτορ ἄχραντε.*

*Ἀπολυτίκιον. ⟨Ποίημα Ἰουστίνου Δεκαδίου⟩.*
*Ἦχος δ'. Ταχὺ προκατάλαβε.*

*Ὁ μάρτυς ὁ ἔνδοξος*
*ἐν τῷ σταδίῳ ἑστὼς*
*ἐβόα: Οὐ παύσομαι*
*κηρύττων ἕνα Θεόν,*
*Τριάδα τὴν ἄκτιστον·*
*ταύτῃ γὰρ ἐμβιώσας,*
*ἐν αὐτῇ καὶ θανοῦμαι·*
*ταύτης νῦν κραταιοῦμαι,*
*ἀσεβεῖς, τῇ ἰσχύι·*
*διὸ οὐδόλως αὐτῇ*
*λατρεύειν ἀρνήσομαι.*

---

53 *ἴσχυνας* cod.    61 *ἔρως* cod.
heirm. ἀπολυτ. CPC 58 — HR 63 — MR, I, 174 — PaR 315, 317
70 *παύσωμαι* cod.

*Εἰς τὸν ὄρθρον ὁ κανών, οὗ ἡ ἀκροστιχίς:*
*Τὸν θαυμαστὸν Μιχαήλ. Ἰωάννης γεραίρει.*
*Χωρὶς τῶν τεσσάρων πρώτων θεοτοκίων.*

*ΩΔΗ Α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα ⟨μου⟩.*

*Τὸν βίον σου ἅπαντα*
*καλῶς τῷ τέλει ἐκόσμησας·*
*γενναίως ἀντέστης γάρ,*
*ὑπὲρ Χριστοῦ ἐναθλῶν,*
*τῷ προστάγματι*
*τῷ τῶν βαρβάρων, μάκαρ.*
*Διὸ στέφος εἴληφας*
*νίκης ἐπάξιον.*

*Ὁ ζῆλός σου μέγιστος*
*πρὸς τὸν δεσπότην, ὃν ἔδειξας,*
*ἐφάνη· σαυτὸν γὰρ σὺ*
*γενναίως καὶ εὐθαρσῶς*
*ἐθελούσιον*
*θῦμα προσῆξας τούτῳ*
*καὶ σφάγιον ἄμωμον,*
*μάρτυς ἀοίδιμε.*

*Νενίκηκας, πάντιμε,*
*ὁλοτελῶς τὸν ἀρχέκακον,*
*τὸν δόλιον δράκοντα,*
*καταπαλαίσας αὐτὸν*
*τὸν πολέμιον*
*τοῦ τῶν ἀνθρώπων γένους,*
*καὶ τοῦτον κατήσχυνας*
*καὶ κατηδάφισας.*

*Θηρεῦσαί σε ἔσπευσεν*
*ὁ πονηρὸς καὶ τὸ φρόνημα*
315r *δολίως με/τέρχεται*
*τῶν ὀπαδῶν ἑαυτοῦ*
*καὶ ἀνίστησι*

---

heirm. α' EE 99, n. 141, Joannis

*θωπείαις μετατρέψαι,*
*ἀλλ' ἀκαταγώνιστος*
*ἀθλητὴς ἔμεινας.*

*Θεοτοκίον.*

*Τὸ χαῖρέ σοι, δέσποινα,*
*ὁ Γαβριὴλ προσεκόμισε*
*καὶ Λόγον συνέλαβες*
*τοῦ προανάρχου πατρὸς*
*καὶ ἐκύησας*
*ἀδιαφθόρως τοῦτον,*
*Θεόν τε καὶ ἄνθρωπον*
*φανέντα τέλειον.*

*ΩΔΗ Γ'. Τοὺς σοὺς ὑμνολόγους ⟨Θεοτόκε⟩.*

***Ἀ**πέρριψε πάντα τὰ τοῦ βίου*
*ὁ μάρτυς σου χαίρων διὰ σέ,*
*ζωὴν λιπὼν τὴν πρόσκαιρον*
*καὶ ἐν σταδίῳ ἔκραζε,*
*στερέωσόν με, Κύριε,*
*ἐν τῷ παρόντι ἀγῶνί μου.*

***Ὑ**πέστης τὸν θάνατον γενναίως,*
*τῶν γὰρ βαρβάρων τὴν ὀφρὺν*
*καὶ θράσος καὶ τὸ φρύαγμα*
*οὐδόλως ἐδειλίασας,*
*ὑμνολογῶν τρανότατα*
*τὸν στεφοδότην καὶ Κύριον.*

***Μ**εγάλως ὁ δόλιος ὡπλίσθη,*
*σοὶ προσβαλεῖν ἐπιχειρῶν,*
*ὃς κατὰ σοῦ διήγειρε*
*τὴν τῶν βαρβάρων δύναμιν,*
*ἣν θειοτέρῳ σθένει σου*
*κατηγωνίσω στερρότατα.*

---

108 *μεταστρέψαι* E
heirm. γ' EE 100, n. 141, Joannis 127 *φρύαγμα* cod.: *φρόνημα* E
129 *ὑμνολογῶν* cod.: *ὑμνολογοῦμεν* E
132 ante *προσβαλεῖν* add. *καὶ* E metri gratia

---

111-118 Lu. 1, 26-34

⟨Θεοτοκίον⟩.

*Τῶν θείων χρησμῶν ἡμεῖς τὸ πέρας,*
*παρθένε θεόνυμφε, σαφῶς*
*δρῶντές σε κηρύττομεν*
*Θεοῦ μητέρα πάναγνον,*
*τὴν παρθενίαν ἄφθαρτον*
*καὶ μετὰ τόκον τηρήσασαν.*

Κάθισμα. Ἦχος δ΄. Τὴν σοφίαν καὶ λόγον.

*Ταῖς βαφαῖς τοῦ σοῦ αἵματος,*
*ἀθλητά,*
*ἐξυφήνω χιτῶνα*
*τὸν νοητόν,*
*ὃν περιβαλλόμενος,*
*αἰωνίως ἐκόσμησας*
*σεαυτὸν ἀθλήσας,*
*καὶ νῦν εἰσελήλυθας*
*τῆς ἀφθαρσίας, μάρτυς,*
*εἰς ἄνω βασίλεια.*
*Ὅθεν εὐφροσύνης*
*ἀκηράτου μετέσχες,*
*σὺν πᾶσι τοῖς μάρτυσιν*
*ἀγαλλόμενος, ἔνδοξε·*
*σὺν αὐτοῖς οὖν ἱκέτευε*
*Χριστῷ τῷ Θεῷ*
*τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι*
*τοῖς ἑορτάζουσι πόθῳ*
*τὴν ἁγίαν μνήμην σου.*

ΩΔΗ Δ΄. Τὴν ἀνεξιχνίαστον ⟨θείαν βουλὴν⟩.

*Ἅπαντας ἐστήριξεν ὁ ἀθλητής,*
*δέσποτα, πιστοὺς τοῦ λαοῦ σου,*
*χαρᾶς ἀφάτου*
*ἐμφορεῖσθαι δεδωκώς.*
*Διὸ ὑμνοῦντες κράζομεν,*
*δόξα τῇ δυνάμει ⟨σου⟩, Κύριε.*

---

heirm. καθ. CPC 62 — MR, I, 68, 262 — TR 50
heirm. δ΄ EE 100, n. 141, Joannis

*Σώματος ἠφείδησε καὶ τῆς ζωῆς,*
315v *πλούτου τε / καὶ δόξης καὶ σχέσεως*
*τῆς τῶν οἰκείων,*
*ὡς ποθῶν σε τὴν ζωήν·*
*διὸ προθύμως ἔδραμεν*
*εἰς τοῦ μαρτυρίου τὸ στάδιον.*

*Τάγματα δαιμόνων τὰ πονηρὰ*
*καὶ τὸν ἀρχηγὸν τούτων γενναίως*
*καὶ τοὺς βαρβάρους*
*τοὺς ἐκείνων ὀπαδοὺς*
*καταβαλὼν ἐκραύγαζες,*
*δόξα τῇ δυνάμει ⟨σου⟩, Κύριε.*

*Θεοτοκίον.*

*Ἵλεων ἀπέργασαι, μόνη ἁγνή,*
*πᾶσι τοῖς ὑμνοῦσί σε, δέσποινα,*
*τὸν κτίστην πάντων*
*καὶ υἱόν σου καὶ Θεὸν*
*τοῖς ἐπταικόσι δούλοις σου*
*καὶ πταισμάτων κούφισον, ἄχραντε.*

*ΩΔΗ Ε'. Ἐξέστη τὰ σύμπαντα.*

*Τὸν δρόμον ἐξήνυσας*
*τοῦ μαρτυρίου ἄριστα*
*ὅλῃ προθυμίᾳ καὶ ἐφέσει*
*καθυποδύς,*
*τοῦτον ποθῶν τὸν Χριστὸν*
*καὶ ἀκαταγώνιστος ὀφθεὶς*
*εἴληφας τὸν στέφανον*
*τὸν ἀκήρατον, ἔνδοξε.*

*Ὁλόφωτον εἴργασαι*
*τὴν σὴν ψυχήν, ἀοίδιμε,*
*τῷ τοῦ μαρτυρίου φέγγει ταύτην*

184 *ἐπταικόσι* cod.: *ἐπτωκόσι* E 185 *κούφησαν* cod. heirm. ε' EE 100, n. 141, Joannis 190 *τὸν* om. E

*καταφαιδρύνας*
*καὶ θείου φωτὸς*
*δεκτικὴν ἀνέδειξας· διὸ*
*χοροὶ τῶν μαρτύρων σε*
*ὑπεδέξαντο χαίροντες.*

***Ν**ομίμως ἐνήθλησας*
*τῷ τοῦ δεσπότου ἔρωτι·*
*τῆς γὰρ ἀναιδείας τῶν βαρβάρων*
*καὶ τῆς ἀλογίας*
*καταπεφρόνηκας*
*καὶ τῶν ἀπειλῶν ὡς ἀληθῶς*
*καὶ τῶν θωπειῶν αὐτῶν,*
*ὡς συνέσει κοσμούμενος.*

***Μ**ελέτην ποιούμενος*
*τοῦ θείου φόβου πάντοτε,*
*νῦν τῆς γενναιότητός σου, μάρτυς,*
*ἔδειξας πᾶσι*
*τὸ μέγα καὶ εὐσταθές,*
*ὑφ᾽ ὧν πρὸς τὰ σκάμματα ταχὺ*
*προθύμως ἐχώρησας*
*καὶ καλῶς ἐξηγώνισαι.*

*Θεοτοκίον.*

*Τὴν ἄχραντον δέσποιναν*
*καὶ μόνην μητροπάρθενον*
*πάντες σε ὑμνοῦμεν κατὰ χρέος·*
*σὺ γὰρ εἶ*
*προστασία τοῦ γένους ἡμῶν.*
*Διό σου δεόμεθα, ἁγνή,*
*φύλαττε τὴν ποίμνην σου,*
*ῥυομένη κινδύνων ἀεί.*

ΩΔΗ ΣΤ'. *Ἐβόησε προτυπῶν.*

***Ἰ**δόντες σε*
*ἐναθλοῦντα γενναίως, πανεύφημε,*

---

200 *χοροί:* *χωρὶ* cod. 221 *καταχρέος* cod.
heirm. ς' EE 125, n. 172, Anonymi

*οἱ ποθοῦντες*
*καὶ εὐχόμενοι τοῦ θεάσασθαι,*
*γεγηθότες πάντες,*
*σὲ δοξάζομεν, ἔλεγον, Κύριε.*

316r *Χωρήσαντα*
*κατὰ σοῦ τὸν πολέμιον τύραννον*
*ἀπεκρούσω*
*νοητῶς καὶ φυγάδα πεποίηκας*
*καὶ αὐτοῦ τὰς ἄρκυς*
*ἐκφυγὼν ἀνεφάνης ἀνώτερος.*

*Ἀνέδραμες*
*τοῦ Χριστοῦ πρὸς τὰ ἄνω βασίλεια*
*ἐκ τῶν κάτω*
*καὶ ζωὴν τὴν ἀίδιον ἔλαβες*
*ἀφθαρσίᾳ, μάρτυς,*
*καὶ στεφάνῳ τῆς δόξης κοσμούμενος.*

*Ἡ μνήμη σου*
*θυμηδίας ἡμῖν πάσης πρόξενος*
*καὶ ἀπλέτου*
*εὐφροσύνης αἰτία γνωρίζεται·*
*εὐφημίας ὅθεν*
*ἐπαξίως ὑπόθεσις γίνεται.*

Θεοτοκίον.

*Λύμης πάσης*
*καὶ φθορᾶς καὶ παντοίας κακώσεως*
*ῥυομένη,*
*Θεοτόκε, μὴ παύσῃ, δεόμεθα,*
*τοὺς πιστῶς ὑμνοῦντας*
*τὸν ἐκ σοῦ σαρκωθέντα Θεὸν ἡμῶν.*

*Κοντάκιον. Ἦχος β΄. Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους ⟨μάρτυρας⟩.*

*Τὸν ἀληθῆ τῆς εὐσεβείας μάρτυρα*
*καὶ νικητὴν τοῦ διαβόλου ἄτρεπτον*

---

heirm. κοντακίου HR 84 — MR, V, 396, 409

---

240 Lu. 7, 25 244 1Pe. 5, 4

*ἐπαξίως εὐφημήσωμεν*
*καὶ μακαρίσωμεν δεόμενοι,*
*μὴ παύσῃ ἱκετεύων, πανόλβιε,*
*σωθῆναι τοὺς ὑμνοῦντάς σε.*

*῾Ο οἶκος.*

*Τοῦτον τὸν νέον μάρτυρα τοῦ Χριστοῦ*
*καὶ ζηλωτὴν τῆς ἀληθείας*
*οἱ πιστοὶ εὐφημήσωμεν·*
*τῷ γὰρ πρὸς αὐτὸν ἔρωτι*
*καὶ τῷ διαπύρῳ φίλτρῳ*
*ἐν τοῖς καθ᾽ ἡμᾶς τούτοις ἐσχάτοις χρόνοις*
*ἔδωκεν ἑαυτὸν προθύμως εἰς θάνατον,*
*πάντα καταλείψας τὰ τοῦ βίου τερπνά·*
*πρὸς ὃν εἴπωμεν,*
*μὴ παύσῃ ἱκετεύων, πανόλβιε,*
*σωθῆναι τοὺς ὑμνοῦντάς σε.*

*⟨Στίχοι⟩.*

*Κἂν καὶ Μιχαὴλ τῷ χορῷ τῶν μαρτύρων*
*τάττω, τὸ καινὸν οὐχ ὁρῶ καὶ κωλῦον.*

*Φάσγανον πέφνε Μιχαὴλ ἑβδομάτῃ ἠδὲ δεκάτῃ.*

*Συναξάριον.*

*Οὗτος ὁ ἀξιάγαστος πατρίδα ἔσχεν αὐτὴν τὴν πόλιν τοῦ ᾿Αδριανοῦ, τῶν εὖ γεγονότων τυγχάνων καὶ τῇ τῆς ψυχῆς αὐτοῦ ἐλευθεριότητι καὶ περὶ πᾶσαν ἀρετὴν ἐπιμελείᾳ βίον ἐπαινετὸν μετιών, περιουσίᾳ τε χρημάτων καὶ πάσῃ εὐκλείᾳ τῇ τοῦ παρόντος βίου, οὐδενὸς ἧττων*
*316v τῶν ἐν ἐκείνῃ τῇ πόλει, γνώ/ριμός τε δὲ καὶ διάδηλος ⟨πᾶσι⟩ σχεδὸν τοῖς ἐν τῇ Εὐρώπῃ βαρβάροις, οὐκ ὀλίγοις δὲ καὶ τῶν ἐν τῇ ᾿Ασίᾳ δοκιμωτέρων, ἔτι δὲ καὶ αὐτοῖς τοῖς βασιλείοις ἀναστρεφομένοις καὶ τῆς μείζονος ἀξιουμένοις παρὰ τοῦ ἡγεμόνος τιμῆς.*

263 *νέον μάρτυρα* cod.: *νεομάρτυρα* E
267 *διαπύρῳ* cod.: *δεσπότου* E 268 *αἰσχάτοις* cod. 275 *τὸ* cod.: *τί* E
5 *δὲ* om. E || ante *σχεδὸν* add. *πᾶσι* nos 6 *τοῖς* cod: *τῆς* E

264 1Pe. 3, 13

*Ἐπεὶ δέ, τοῦ γένους τῶν βαρβάρων τούτων μανιωδῶς διακειμένου ἡμῖν, ταῖς ὑφηγήσεσι καὶ διδασκαλίαις τοῦ μιαρωτάτου καὶ πονηροῦ καθηγεμόνος αὐτῶν, μία τις φατρία τούτων πονηροτάτη καὶ θερμοτέρα πρὸς τὴν ἀσέβειαν, συνήθης καὶ γνώριμος οὖσα τῷ μάρτυρι, δόλους ἔγνω συρράψαι κατὰ τοῦ ἀνδρός, τῷ πονηρῷ πρὸς ταῦτα δαίμονι κινουμένη τὰ βουλεύματα ὡς ἔοικεν, ὑφάναντες οὖν τὸν δόλον καὶ καλῶς ἔχειν ὑπολαβόντες, προσίασι τῷ δικαστῇ λέγοντες, ὡς εἴποι οὗτος πολλάκις ὃ λέγουσιν αὐτοί, τὸν ἑαυτῶν ὁμολογοῦντες Θεὸν βαρβάρῳ φωνῇ, καὶ μάρτυρας δὲ ἦγον μεθ' ἑαυτῶν ψευδῆ μαρτυρήσοντας. Ὁ δὲ τὸν ἄνδρα μεταπεμψάμενος ἐδείκνυεν ὅσα κατ' ἐκείνου φασὶ καὶ ὅ,τι ἔχοι πρὸς ταῦτα ἀπολογήσασθαι ἔλεγεν. Ὡς δὲ τοῦ ἀνδρὸς μηδὲν ἀληθὲς λέγειν αὐτοὺς ἰσχυριζομένου, ἀλλὰ ψεῦδος εἶναι τὸ ὅλον καὶ ἀναιδοῦς συκοφαντίας ὑπόθεσιν καὶ πόρρω παντελῶς τοῦ σκοποῦ αὐτοῦ —σκοπὸν γὰρ εἶχε διόλου μακρὰν εἶναι τῶν τοιούτων πλοκῶν— ὁ δικαστής, ψευδεῖς εἶναι τοὺς λόγους ἐκείνων ὑπολαβὼν καὶ συκοφαντίαν μεμελετημένην προδήλως, ἔγνω διαφεῖναι εἰδὼς ἐκεῖνον καὶ πάνυ ἐχέφρονα καὶ πεφυλαγμένως τὸν ἑαυτοῦ βίον διάγοντα. Θορυβούντων δὲ ἐκείνων καὶ ἐπαπειλούντων ὡς, εἴπερ ἀπολύσει ἐκεῖνον, ἀποφανοῦσιν αὐτὸν ἔν τε τοῖς βασιλείοις καὶ πανταχοῦ τοῦ σφετέρου νόμου ὀλιγωροῦντα, εἱρκτῇ παραπέμπει τὸν ἄνδρα, διαμένειν κελεύσας ἕως ἂν πάντα γένοιτο δῆλα τὰ κατ' αὐτὸν ἐν τοῖς βασιλείοις καὶ ὅ,τι ἂν προστάξοι ὁ ἡγεμών.*

317r *Παραλαβόν/τες οὖν οἱ μύσται τοῦ πονηροῦ καὶ ἄλλους οὐκ ὀλίγους μεθ' ἑαυτῶν, τῆς αὐτῆς ὄντας μετόχους παραπληξίας καὶ δυσμενείας, ἐν τοῖς βασιλείοις παρεγένοντο τοῦ κρατοῦντος καὶ τοῖς ἐκεῖσε πολλὰ κοινολογησάμενοι, ὁμόφροσιν οὖσιν αὐτοῖς, καὶ τὴν σκαιωρίαν ἀπαρτίσαντες πείθουσι τὸν ἡγεμόνα, κουφότατον ὄντα, ψῆφον ἐξενεγκεῖν. Ἡ δὲ ἦν: «Εἰ μὴ τῇ ἐκείνων προστεθείη θρησκείᾳ, τὴν ἰδίαν ἐξομοσάμενον, κατακαέντα ἀποθανεῖν».*

*Ὑποστρέψαντες τοίνυν ἐκεῖθεν καὶ τὸ πρόσταγμα τῷ δικαστῇ ἐπιδείξαντες, ποικίλοις ἐχρῶντο λόγοις πρὸς τὸν γενναῖον, «πείσθητι», λέγοντες, «συνετώτατε, τῷ τοῦ κρατοῦντος προστάγματι καὶ ἡμῖν,*

---

10 *μιαρωτάτου* cod.: *μισαρωτάτου* E
19 *ὅτι* cod.: *ὅτι ὅ,τι* E || *ἔχει* cod. E || *ἔλεγον* E
24 *μελετημένην* E 25 *πεφυλαγμένον* E 27 *ἔν τε* cod.: *ἐν* E
28 *διαμένειν* cod.: *ἀναμένειν* E 29 *ὅτι ὅτι ἂν προστάξῃ* E 34 *σκευωρίαν* E
34-35 *ἀπαρτήσαντες* cod. E

---

25-28 Jo. 19,12-13

παραινοῦσί σοι τὰ λυσιτελῆ, καὶ ὁμολόγησον ἅπερ ἡμεῖς· ἔσται σοι γὰρ εὖ καὶ πᾶσι τοῖς σοῖς, ἐπεὶ δωρεῶν ἀπολαύσεις μεγίστων καὶ τιμῆς ὑψηλῆς καὶ ἐνδόξου καὶ λαμπρὸς ἔσῃ καὶ πᾶσι τοῖς σοῖς ὠφέλεια ἔσται καὶ ἀγάπη καὶ οἰκείωσις ἀφ' ἡμῶν· εἰ δὲ μὴ πεισθῆναι θελήσεις, ἡμεῖς ἀποκτενοῦμέν σε πάντως, ὡς ὁ νόμος τε καὶ τὸ πρόσταγμα τοῦ κρατοῦντος παρακελεύεται».

Πρὸς ταῦτα ὁ γενναῖος ἐκεῖνος καὶ ἀδαμάντινος ἀπολογούμενος ἔφη: «Ἐπεὶ τοσοῦτον ἴσχυσε κατ' ἐμοῦ τὸ ψεῦδος καὶ ἡ ῥᾳδιουργία ὑμῶν, ὥστε καὶ τὸν κρατοῦντα πεῖσαι τοιαύτην ψῆφον ἐξενεγκεῖν, περὶ μὲν τοῦ πεισθῆναι ἢ μὴ πεισθῆναί με τοῖς λόγοις ὑμῶν καλῶς ἤδη ἐσκεψάμην ἐν ἐμαυτῷ· οὔτε γὰρ εὐήθης τις καὶ ἀσύνετος, ὡς ἴστε, ἐγώ, οὔτε μεταμελήσομαι ἢ μεταβουλεύσομαι οὐδέποτε περὶ τὴν τοῦ Χριστοῦ μου πίστιν, νῦν μὲν ἄλλα, αὔριον δὲ ἄλλα φρονῶν —τοῦτο 317v γὰρ οὐδὲ παίδων ἔργον φρονίμων— / ἀλλ' ὑπομενῶ προθύμως τὸν θάνατον, οὐδένα λόγον ποιούμενος ὧν φατε δωρεῶν καὶ δόξης καὶ τῶν λοιπῶν· ἐκεῖνο δὲ θαυμάζω, εἰ τὸν μὲν διὰ ξίφους θάνατον οἴεσθέ με ὑποστῆναι πάνυ προθύμως, τὸν δὲ διὰ τοῦ πυρὸς δυσχερανεῖν· εἰ δὲ καὶ πλείω τὴν αἴσθησιν ἐκεῖνος τῶν ἀλγηδόνων παρέχεται, ἀλλ' ἐπίσης κἀκεῖνος ὑπάρχει θάνατος, ὥστε, ὁποτέρῳ με βούλεσθε, παραπέμψατε, τοῦ λοιποῦ μηδέν τι πλέον εἰπόντες· ἄλλο γάρ τι παρ' ἐμοῦ οὐκ ἀκούσεσθε».

Ταῦτα εἰπόντος τοῦ μάρτυρος, αἰσχυνθέντες ὅτι μὴ ἴσχυσαν ἐκεῖνον μεταβαλεῖν, ἀπειρηκότες λοιπόν, τὸν δήμιον ἐπιστήσαντες τὴν τιμίαν ἐκείνου κεφαλὴν ἐκέλευον ἀποτεμεῖν. Ὁ δέ, «Κύριε Ἰησοῦ Χριστέ», εἰπών, «δέξαι τὸ πνεῦμά μου», ἀπετμήθη τὴν σεβασμίαν κεφαλήν. Καὶ μετὰ ταῦτα ὕλην συναγαγόντες, ὢ τῆς ἀπονοίας! τὸ τίμιον ἐκεῖνο σῶμα κατέκαυσαν, τὴν αἰσχύνην αὐτῶν συγκαλύπτειν βουλόμενοι. Ἡττηθέντες γάρ, ἐπεὶ οὐ καταπεῖσαι ἄνδρα ἴσχυσαν μεγαλοπρεπῆ καὶ τελείου φρονήματος καὶ τὸν Χριστὸν ἀντὶ πάντων προελόμενον, ὡς δῆθεν τὸ πλῆθος τῶν ὁμογλώσσων βαρβάρων ἐπιστηρίζοντες, ταῦτα ἐποίησαν. Τί γὰρ ματαιότερον ἢ ἀπονοίας καὶ θηριώδους τρόπου καὶ γνώμης σημεῖον, ἢ σῶμα, νεκρὸν τῷ ξίφει γενόμενον, κατακαῦσαι;

Ἀλλ' ἐκεῖνοι μὲν νοσείτωσαν διὰ βίου παντός, ἡμεῖς δὲ τοιαῦτα ἰδόντες ἐν τοῖς καθ' ἡμᾶς πανυστάτοις νῦν χρόνοις, δοξάζομεν τὴν πανα-

---

41 παραινοῦσι σοι cod.: παραιτοῦσι σε E
42-43 καὶ πᾶσι τοῖς σοῖς, ἐπεὶ δωρεῶν... καὶ λαμπρὸς ἔσῃ cod. bis
43 ἔσῃ cod.: ἔστι E 49-50 ὥστε καὶ τὸν κρατοῦντα... τοῖς λόγοις ὑμῶν om. E
51 ἴστε cod.: ἴσθε E 57 τοῦ om. E 60 πλέων cod. (ων comp.)
62 μεταβαλεῖν (εῖν comp.) cod.: μεταβάλειν E || ἀπειρηκότως E
69 ταῦτα cod.: ταῦ E 73 νῦν om. E

*γίαν καὶ ζωαρχικὴν Τριάδα, τὸν ἕνα Θεόν, τὸν δόντα ἡμῖν τοιαῦτα ἰδεῖν, εἰς δόξαν μὲν ἐκείνου καὶ εὐχαριστίαν, στηριγμὸν δὲ καὶ ἀγαλλίασιν καὶ εὐφροσύνην τῶν πιστῶν.*

*ΩΔΗ Ζʹ. Ὁ διασώσας ἐν πυρί.*

*Ἰσχύν σοι ἄνωθεν Χριστὸς*
*καὶ ἀκαταμάχητον*
*καὶ πανοπλίαν κατ᾽ ἐχθρῶν*
*τοῦ σταυροῦ τῇ δυνάμει παρέσχετο,*
*καὶ ἀθλῶν ἀνεκραύγαζες:*
*Ὁ Θεὸς ὁ τῶν πατέρων,*
*εὐλογητὸς εἶ.*

*Ὡς ἐραστήν σε τοῦ Χριστοῦ*
*καὶ ἀκαταγώνιστον ὄντα*
*καὶ ἀθλητὴν καὶ νικητὴν*
*πονηρᾶς ἐπινοίας τοῦ δαίμονος*
*εὐφημοῦντες κραυγάζομεν:*
*Ὁ Θεὸς ὁ τῶν πατέρων,*
*εὐλογητὸς εἶ.*

*Ἀπειρηκότες οἱ ἐχθροί,*
*λόγοις ἀπωλείας μὴ πείθοντες,*
*σὲ ἀνελεῖν μανιωδῶς*
*ἐπεχείρουν τῷ ξίφει, μὴ φέροντες*
*τῆς ψυχῆς σου τὸ εὔτολμον,*
*ὁ Θεός, ἀναβοῶντες,*
*εὐλογητὸς εἶ.*

*Νενικηκέναι οἱ ἐχθροὶ*
*ᾤοντο τὴν σὴν καρτερίαν,*

---

285 *ἀκαταγώνιστον* cod.: *ἀκατάγνωστον* E
295 *σου* om. E 296 *ἀναβοῶντος* E
heirm. ζʹ EE 101, n. 142, Cosma

---

282-283 Da. 3, 26, 52
289-290 Da. 3, 26, 52
296-297 Da. 3, 26, 52

*τὴν σὴν τιμίαν κεφαλὴν*
*ἐκτεμόντες τῷ ξίφει, καὶ ἔχαιρον,*
*ἀλλ' αὐτὸς ἀνεκραύγαζες:*
*ὁ Θεὸς ὁ τῶν πατέρων,*
*εὐλογητὸς εἶ.*

*__Ν__εανικῶς τὸν δυσμενῆ*
*καὶ τοὺς ὑπηρέτας ἐκείνου*
*ὡς καταισχύνων εὐθαρσῶς*
*τῷ δημίῳ ἐπέτελλες τέμνειν σε*
*καὶ χαρᾷ ἀνεκραύγαζες:*
*Ὁ Θεὸς ὁ τῶν πατέρων,*
*εὐλογητὸς εἶ.*

*Θεοτοκίον.*

*__Ἡ__ πλατυτέρα οὐρανῶν*
*καὶ τῶν σεραφεὶμ ὑπερτέρα,*
*ὡς τὸν ἁπάντων ποιητὴν*
*σαῖς ἀγκάλαις βαστάσασα, ἄχραντε,*
*σῷζε, δέσποινα, τοὺς ψάλλοντας:*
*Ὁ Θεὸς ὁ τῶν πατέρων,*
*εὐλογητὸς εἶ.*

*ΩΔΗ Η'. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.*

*__Σ__τολὴν τὴν τοῦ σώματος οἱ θῆρες*
*ἀγρίως καὶ ἰταμῶς σου ἀφελόμενοι,*
*γυμνὸν περιάγειν σε*
*ὥσπερ καταισχύνοντες*
*τοῖς δημοκοίνοις ἔλεγον*
*ἐγκελευόμενοι:*
*Τὸν Κύριον ὑμνεῖτε βοῶντα*
*καὶ ὑπερυψοῦτε*
*εἰς ⟨πάντας τοὺς αἰῶνας⟩.*

---

308 *ἐπέτελες* cod. E 309 *χαρὰ* cod. 316 *σώζε* cod.
heirm. *η'* EE 100, n. 141, Joannis

---

303-304 Da. 3, 26, 52
310-311 Da. 3, 26, 52
317-318 Da. 3, 26, 52
325-327 Da. 3, 57

*Γεώδους φρονήματος οὐδόλως*
*μετέχων, τοῦ θείου δὲ ὤφθης καὶ κρείττονος·*
*ὅθεν καὶ ἐνδέδυσαι*
*ἀφθαρσίας ἔνδυμα*
*τοῖς σοῖς τιμίοις αἵμασιν,*
*ἅπερ ἐξέχεας,*
*τὸν Κύριον ὑμνεῖτε, κραυγάζων,*
*καὶ ὑπερυψοῦτε*
*εἰς π⟨άντας τοὺς αἰῶνας⟩.*

*Ἕλκει τοὺς πιστοὺς πρὸς εὐφημίαν*
*ὁ μάρτυς, ἀθλήσας ὑπὲρ σοῦ νῦν, δέσποτα,*
*καὶ πρὸς ἀγαλλίασιν*
*πάντας κοινὴν ἤθροισε,*
318v *τοῖς θείοις σου προσ/τάγμασιν*
*ὑποταττόμενος·*
*διὸ ὑμνεῖτε, ἐβόα,*
*καὶ ὑπερυψοῦτε*
*Χριστὸν εἰς ⟨τοὺς αἰῶνας⟩.*

⟨Θεοτοκίον⟩.

*Ῥήσεις προφητῶν σε, Θεοτόκε,*
*σαφῶς προεδήλωσαν πᾶσι γενήσεσθαι*
*μητέρα τοῦ ποιητοῦ·*
*ὅθεν σε μεσίτριαν*
*πρὸς τὸν υἱόν σου ἔχομεν*
*οἱ σοὶ προσπίπτοντες·*
*φρούρει τὴν ποίμνην σου, παρθένε,*
*καὶ τὴν σωτηρίαν*
*πρεσβείαις σαῖς χορήγει.*

---

345 *Χριστὸν εἰς* cod.: *εἰς πάντας* E

---

334-336 Da. 3, 57
343-345 Da. 3, 57
346-348 Is. 7,14; Matth. 1,22-23

*ΩΔΗ Θ'. Ἅπας γηγενής.*

***Αἴ**νεσιν Θεῷ*
*προσέφερες ἄπαυστον,*
*γυμνὸς ἀγόμενος*
*ταῖς τῶν ἀσεβῶν χερσί,*
*τὸν δρόμον, μάκαρ, τῆς τελειώσεως*
*ὡς διανύσῃς ἄριστα,*
*τὸν δεσπότην*
*βλέπων σοι τὸν στέφανον*
*ἀοράτως τῆς δόξης δωρούμενον.*

*Ἴ**δε** εὐπρεπὴς*
*ἐγὼ πρὸς τὴν ἄθλησιν,*
*ὁ μάρτυς ἔλεγε·*
*συνελθόντες τοίνυν ἀπηνεῖς,*
*ἀγρίως δεῦτε διαχειρίσασθε·*
*τῷ γὰρ Χριστῷ μου βούλομαι*
*καὶ συνεῖναι*
*καὶ τὸ φῶς τὸ ἄδυτον*
*τῆς αὐτοῦ βασιλείας τρανῶς καθορᾶν.*

***Ῥ**έουσαν ζωὴν*
*ἠλλάξω, θεσπέσιε,*
*τῷ θείῳ ἔρωτι·*
*ἐκλιπὼν ἐκείνην γάρ,*
*ἐδέξω ταύτην τὴν διαμένουσαν*
*ὡς νουνεχὴς σκεπτόμενος*
*καὶ ἐχέφρων,*
*τὴν Χριστοῦ οἰκείωσιν*
*ἀντὶ πάντων σαφῶς προελόμενος.*

***Ἔ**βλεπεν αὐτὸν*
*τὸν δήμιον, Κύριε,*
*τὸ ξίφος φέροντα*

heirm. θ' EE 100, n. 141 Joannis
360 *διανύσας* E    381 *σοφῶς* E

355-356 Le. 7, 12
362-363 1Pe. 5,4

*μάρτυς σὸς ὁ εὐκλεής,*
*οὐκ ἐδειλία δὲ τὸ μαρτύριον*
*ἀποπληρῶν, λαμπρᾷ τῇ φωνῇ,*
*τῇ ἐφέσει*
*τῆς ζωῆς τῆς κρείττονος*
*σὲ κηρύττων δεσπότην τῆς κτίσεως.*

*Θεοτοκίον.*

*Ἴθυνον, ἁγνή,*
*πρὸς τρίβους εὐθείας με*
*καὶ καθοδήγησον*
*πρὸς ἀπαρτισμὸν ἀεὶ*
*τῶν ἐντολῶν τοῦ κτίστου μου, δέσποινα,*
*καὶ υἱοῦ σου,*
*τοῦ ζωὴν αἰώνιον*
*δι᾽ αὐτῶν χορηγοῦντος τοῖς θέλουσιν.*

319r *Ἐξαποστειλάριον. Πρός: Τῶν μαθητῶν ὁρώντων σε ⟨ἀνελήφθης⟩.*

*Τὴν σταθηράν σου, μάρτυς, ὁμολογίαν*
*χοροὶ ὑπερεθαύμασαν τῶν ἀγγέλων,*
*μάρτυρες ἠγάλλοντο,*
*σὲ στέφοντα βλέποντες*
*τὸν στεφοδότην Κύριον·*
*ὑπὲρ αὐτοῦ γὰρ ἐνήθλεις*
*ποθῶν ζωὴν τὴν ἀγήρω.*

*Εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια.*
*Ἦχος α'. Πρός: Τῶν οὐρανίων ⟨ταγμάτων⟩ τὸ ἀγαλλίαμα.*

*Τῶν ἀσεβούντων ἡ λύσσα*
*κατὰ σοῦ ζέσασα*
*πρὸς ἀθεΐαν, μάρτυς,*
*προσεκάλει βιαίως,*
*πρότερον θωπείαις*

---

388 *τῇ* cod.: *τῆς* E 396 *καὶ* cod.: *τοῦ* E 397 *τοῦ* cod.: *καὶ* E
heirm. ἐξαποστ. PeR 323, 357 399 *σταθερὰν* E
heirm. στιχηρῶν CPC 64 — MR, II, 54 410 *θωπίαις* cod.

---

391-392 Is. 40,3; Matth. 3,3; Mar. 1,2; Lu. 3,4.

*πείθουσα σὲ*
*τὸν στερρὸν ὡς ἀδάμαντα,*
*ὃν οὔτε ξίφος, οὐ πῦρ οὐδαμῶς*
*διασεῖσαι ἠδυνήθησαν.*

*Ἀξιοθαύμαστε, μάρτυς,*
*πάντα κατέβαλες,*
*τὸ τῶν βαρβάρων θράσος*
*καὶ αὐθάδη μανίαν,*
*ὀφρύν τε τῶν δαιμόνων*
*καὶ τὴν ἰσχὺν*
*τούτων πάντων ἐπάτησας,*
*ἐνοπτριζόμενος, μάκαρ, Χριστόν,*
*ὃν ἱκέτευε σωθῆναι ἡμᾶς.*

*Τὴν ἱεράν σου τιμῶντας,*
*μάρτυς, νῦν ἄθλησιν*
*καὶ μετὰ προθυμίας*
*καὶ χαρᾶς ἀνεκφράστου*
*σὴν μνήμην ἐκτελοῦντας,*
*λύσιν εὑρεῖν*
*τῶν πταισμάτων ἱκέτευε,*
*ἐν τῇ ἡμέρᾳ, μάρτυς, τῇ φοβερᾷ*
*τὸν κριτὴν ἐξιλεούμενος.*

*Δόξα. Ἦχος δ'.*

*Πόλιν καὶ πατρίδα, μάρτυς,*
*καταλιπὼν τὴν ἐν γῇ,*
*εὗρες Ἱερουσαλὴμ τὴν ἐν οὐρανοῖς,*
*ἐν ᾗ ἐπεγράφη σου τὸ ὄνομα·*
*τὴν μητέρα πάντων τῶν μαρτύρων,*
*μεθ' ὧν αἰωνίως ἀγαλλόμενος*
*μνημόνευε καὶ ἡμῶν,*
*τῶν μετὰ πόθου τελούντων*
*τὴν πανήγυριν τὴν σήν,*
*Μιχαὴλ ἀξιύμνητε.*

---

422 ante **τὸν** add. *σὺ* E metri gratia 432 *ἐξιλούμενος* cod.
441 *πανύγυριν* cod.

*Καὶ νῦν. Θεοτοκίον.*

*Αὕτη ἡ ἀκολουθία ἐποιήθην* [sic] *παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου κῦρ Ἰωάννου τοῦ Μόσχου οἰκοῦντος ἐν τῇ νήσῳ Κερκύρας ἥτις πρώτερον Φεακὶς ἐκαλεῖτο, νῦν δὲ παρὰ τοῖς νεωτέροις Κορυφαί.*

*Ἕτερον κάθισμα ἐν τῇ ἀκολουθίᾳ ποιηθὲν παρὰ Ἰουστίνου Δεκαδίου, μαθητοῦ τοῦ αὐτοῦ διδασκάλου. Καὶ τὸ ἀπολυτίκιον, ὁ τέταρτος, τοῦ αὐτοῦ ποίημα* ⟨vide supra, in acolouthia, vv. 68-78⟩.

319v *Ἦχος γ'. Θείας πίστεως ⟨ὁμολογίᾳ⟩.*

*Ἕνα Κύριον ἀνυποστόλως*
*ἀνεκήρυττες*
*μέσον ἀνόμων,*
*Μιχαὴλ μάρτυς, καὶ τούτους κατήσχυνας,*
*μεταβαλεῖν μὴ ἰσχύσαντας, ἔνδοξε,*
*ἀμεταθέτου σου γνώμης τὸ εὔτονον,*
*ἀλλ' ὡς ἀδάμας ἐνέμεινας ἄτρεπτος*
*ὁμολογῶν τὸν Χριστὸν Θεὸν Κύριον,*
*ὅθεν καὶ τέλους μαρτυρικοῦ ἔτυχες.*

*(Συνεχίζεται)*

---

Supra v. 443: *πρώτερον Φεακὶς* debebat esse *πρότερον Φαιακὶς*
heirm. καθίσμ. CPC 57 — HR 148 — MR, II, 55